eul_wid: mbm-aa

*Γεωγραφικὰ Ἀδέσποτα* · Geographical Works Anonymous

# Geographical Measurements of Islands

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

T ΑΠΟΣΠΑΣΜΑΤΑ. Τῶν δ' εὐμεγεθῶν νήσων Σαρδὼ μὲν τὴν περίμετρον ἔχει σταδίων ͵ δυμ', μιλίων φ[ϙβ'], Κύρνος δὲ, ἣν Κορσικὴν οἱ ἐπιχώριοι καλοῦσι, τὰ κύκλῳ ἔχει σταδίων ͵ δυμ'.

1 Τῆς δὲ Κρήτης τὰ κύκλῳ ἐστὶ σταδίων ͵ δτ'. Ἡ δὲ Κύπρος σταδίων ͵ γ. Τῶν δὲ Βρεττανικῶν νήσων ἡ μεγίστη καλουμένη Ἀλβίων τὴν περίμετρον ἔχει σταδίων τρισμυρίων ἐννακισχιλίων, ἡ δὲ Ἰέρνη ἀναλόγως ταύτης μείζων * . Ἡ δὲ Πελοπόννησος σταδίων ἐστὶ τετρακισχιλίων πεντακοσίων. Ῥόδου δὲ ἡ περίμετρος σταδίων ωκε', Κῶ δὲ νήσου σταδίων ω'. Χίος δὲ σταδίων ͵ αχ'. Λέσβου δὲ τὰ κύκλῳ ͵ αρπ'. Ἡ δὲ Σαμία νῆσος σταδίων ω'. Μῆκος τῆς ὅλης γῆς ἀπὸ ἀνατολῶν εἰς δυσμάς φασι σταδίους ὀκτακισμυρίους.

2 Τῆς δ' ὅλης γῆς τὸ μέγιστον ἐχούσης κύκλῳ εἰς μυριάδας σταδίων κε', τὴν σύμπασαν αὐτῆς ἐπιφάνειαν λογιζόμενοι, τίθεμεν εἰς [μυριάδων] μυριάδας διακοσίας· ὧν τὸ τῆς ἡμετέρας οἰκουμένης ὡς τέταρτόν ἐστι τούτου. Μῆκος δὲ τοῦ παντὸς χύματος ἀφ' Ἡρακλείων στηλῶν ἕως τῆς πρὸς ἀνατολαῖς Συρίας οὐ πολὺ λείπει τρισμυρίων σταδίων. Νάξος νῆσος * .

3 —Ἡ Μαραθὼν τῆς Ἀττικῆς σταδίους τριακοσίους ἀπέχουσα τῆς πόλεως. Ἔστι δὲ ὁ Ἑλλήσποντος πορθμὸς, φερόμενος ἀπὸ τῆς Προποντίδος ἐπὶ τὸ Αἰγαῖον πέλαγος, ἔχων τὸ πλάτος σταδίων ζ', ὃν ἔζευξε Ξέρξης. Ἔστι δὲ ἡ Σικελία νῆσος σταδίων τετρακισχιλίων ὀκτακοσίων ἔχουσα τὴν περίμετρον, μιλίων χμε'.

Eulogikon public reading copy · View original HTML at eulogikon.org